| TEXTE 1.4 | APOLLON, LE DIEU DE DELPHES |
|---|---|

1. Ὁ Ἀπόλλων ἐν τῷ οὐρανῷ εἰσφέρει τὸν ἥλιον εἰς τὸν κόσμον. Διότι ξανθὸς καὶ καλὸς θεός ἐστιν.

2. Οἱ δ' ἄνθρωποι θεραπεύουσι τοῦτον τὸν θεὸν ἐν Δελφοῖς.

3. Πολλοὶ γὰρ εἰς Δελφοὺς βαδίζουσιν ὅτι ὁ Ἀπόλλων προαγορεύει τοῖς ἀνθρώποις τὸν λοιπὸν χρόνον.

4. Ὁ δὲ θεὸς οὐκ ὄντως ἀλλὰ διὰ παρθένου λέγει, καὶ τοὺς τούτων τῶν ἀνθρώπων ὀνείρους ἡ παρθένος ἑρμηνεύει.

5. Οἱ δὲ τῆς παρθένου χρησμοὶ πολλάκις ὀρθοί εἰσιν, οἱ δ' ἄνθρωποι ἐγκωμιάζουσι τὸν θεὸν καὶ τὴν παρθένον.

6. Ὦ ἄνθρωποι, ἆρα τούτοις τοῖς χρησμοῖς πιστοί ἐστε, καὶ τοῦτον τὸν θεὸν θεραπεύετε ;

7. Μάλιστα, ὦ φίλε· πιστοὶ γὰρ ἐσμεν καὶ τὸν θεὸν θεραπεύομεν ὅτι ὁ Ἀπόλλων δυνατὸς θεός ἐστιν.